eul_wid: sei-aa

*Πάππος ὁ Ἀλχημιστής* · Pappus the Alchemist

# Pappus the Philosopher Oath

*Πάππου φιλοσόφου ὅρκος*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

2.27.(18t) ΠΑΠΠΟΥ ΦΙΛΟΣΟΦΟΥ 〈ΟΡΚΟΣ〉 Ὅρκῳ οὖν ὄμνυμί σοι τὸν μέγαν ὅρκον, ὅστις ἂν σὺ ᾖ θεόν φημι τὸν ἕνα, τὸν εἴδει καὶ οὐ τῷ ἀριθμῷ, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τῶν τε στοιχείων τὴν τετρακτὺν καὶ τὰ ἐξ αὐτῶν, ἔτι δὲ καὶ τὰς ἡμετέρας ψυχὰς λογικάς τε καὶ νοερὰς, ἁρμόσαντα σώματι, τὸν ἐπὶ ἁρμάτων χερουβικῶν ἐποχούμενον, καὶ ὑπὸ ταγμάτων ἀγγελικῶν ἀνυμνούμενον.

2.28 Ὅτι τινὲς λεκίθιον συνελείωσαν τοῖς ὁμογενέσιν ὑγροῖς τῇ ⊦ τοῦ σώματος κοτύλην ὕδατος βάλλοντες καὶ περισφίγξαντες ἔδωκαν ταῖς πυρίαις, καὶ τελειώσαντες ἀνεῖλαν τὸν ἰόν· καὶ ἐξαιθριάσαντες προσέπλεξαν τῷ κηρίῳ 〈καὶ〉 θείῳ· καὶ οὕτως ἐκπυρώσαντες τελειότητι καὶ συμμέτροις πυρίαις, τουτέστιν λειώσεσιν ἢ ὀπτήσεσιν ἀνελόμενοι τὸ ξηρίον ἀπέθεντο ἐν ἀγγείοις ὑελίνοις, κρεμάσαντες ἐν οἴκῳ θερμῷ, καὶ μᾶλλον ἀνατολικὰ ἔχοντι φῶτα ἤπερ δυτικά, καὶ νότια μᾶλλον ἢ βόρρεια, ὡς ἐντέταλκα κατὰ πλάτος Στέφανον τὸν θεοφιλέστατον, ἐξεθέμεθα καὶ τῇ κατ' ἐπιτομὴν ἡμῶν πραγματείᾳ πρὸς Μοϋσέα τὸν τρισεύμοιρον. Ἐπείπερ γοῦν γραφὴν εὖ ἐκτίσαμεν· ἐὰν γὰρ τὸν βορρὰν ἴδῃς ὑγρὸν ὑπερβλέπειν, ὥς φησιν ἐν τῷ περὶ θείου ἀθίκτου ὕδατι λόγῳ, τῷ ἁλμώδει, καὶ νιτρώδει καὶ στιμμώδει καὶ χαλκανθώδει τῆς ἰώσεως τάχιον ἀναλύοντα· ἐνταῦθα τὴν νέκρωσιν ᾐνίξατο, καὶ πλήρωσιν τοῦ παντὸς λόγου.